# 1. Könige 4

Septuaginta (LXX)

**1** καὶ ἦν ὁ βασιλεὺς σαλωμων βασιλεύων ἐπὶ ισραηλ

**2** καὶ οὗτοι οἱ ἄρχοντες οἳ ἦσαν αὐτοῦ αζαριου υἱὸς σαδωκ

**3** καὶ ελιαρεφ καὶ αχια υἱὸς σαβα γραμματεῖς καὶ ιωσαφατ υἱὸς αχιλιδ ὑπομιμνῄσκων

**4** καὶ σαδουχ καὶ αβιαθαρ ἱερεῖς

**5** καὶ ορνια υἱὸς ναθαν ἐπὶ τῶν καθεσταμένων καὶ ζαβουθ υἱὸς ναθαν ἑταῖρος τοῦ βασιλέως

**6** καὶ αχιηλ οἰκονόμος καὶ ελιαβ υἱὸς σαφ ἐπὶ τῆς πατριᾶς καὶ αδωνιραμ υἱὸς εφρα ἐπὶ τῶν φόρων

**7** καὶ τῷ σαλωμων δώδεκα καθεσταμένοι ἐπὶ πάντα ισραηλ χορηγεῖν τῷ βασιλεῖ καὶ τῷ οἴκῳ αὐτοῦ μῆνα ἐν τῷ ἐνιαυτῷ ἐγίνετο ἐπὶ τὸν ἕνα χορηγεῖν

**8** καὶ ταῦτα τὰ ὀνόματα αὐτῶν βενωρ ἐν ὄρει εφραιμ εἷς

**9** υἱὸς ρηχαβ ἐν μαχεμας καὶ βηθαλαμιν καὶ βαιθσαμυς καὶ αιλων ἕως βαιθαναν εἷς

**10** υἱὸς εσωθ βηρβηθνεμα λουσαμηνχα καὶ ρησφαρα

**11** χιναναδαβ καὶ αναφαθι ἀνὴρ ταβληθ θυγάτηρ σαλωμων ἦν αὐτῷ εἰς γυναῖκα εἷς

**12** βακχα υἱὸς αχιλιδ θααναχ καὶ μεκεδω καὶ πᾶς ὁ οἶκος σαν ὁ παρὰ σεσαθαν ὑποκάτω τοῦ εσραε καὶ ἐκ βαισαφουδ εβελμαωλα ἕως μαεβερ λουκαμ εἷς

**13** υἱὸς γαβερ ἐν ρεμαθ γαλααδ τούτῳ σχοίνισμα ερεγαβα ἣ ἐν τῇ βασαν ἑξήκοντα πόλεις μεγάλαι τειχήρεις καὶ μοχλοὶ χαλκοῖ εἷς

**14** αχιναδαβ υἱὸς αχελ μααναιν εἷς

**15** αχιμαας ἐν νεφθαλι καὶ οὗτος ἔλαβεν τὴν βασεμμαθ θυγατέρα σαλωμων εἰς γυναῖκα εἷς

**16** βαανα υἱὸς χουσι ἐν τῇ μααλαθ εἷς

**17** σαμαα υἱὸς ηλα ἐν τῷ βενιαμιν

**18** γαβερ υἱὸς αδαι ἐν τῇ γῇ γαδ γῇ σηων βασιλέως τοῦ εσεβων καὶ ωγ βασιλέως τοῦ βασαν καὶ νασιφ εἷς ἐν γῇ ιουδα

**19** ιωσαφατ υἱὸς φουασουδ ἐν ισσαχαρ


Druckausgabe erzeugt am 14.06.2025 auf bibelkommentare.de

Druckausgabe erzeugt am 14.06.2025 auf bibelkommentare.de